| | | |
|---|---|---|
| Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς. | بِشَفَاعَةِ والِدَةِ ٱلإِلٰهِ يا مُخَلِّصُ خَلِّصْنَا | 1. |
| Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν ψάλλοντάς σοι, Ἀλληλούϊα. | خَلِّصْنَا يا ٱبْنَ ٱللهِ يا مَنْ قَامَ مِنْ بَيْنِ ٱلأَمْواتِ، لِنُرَتِّلَ لَكَ أَلْلِيلويا. | 2. |
| Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός ψάλλοντάς σοι, Ἀλληλούϊα. | خَلِّصْنَا يا ٱبْنَ ٱللهِ يا من هُوَ عجيب في قديسيه، لِنُرَتِّلَ لَكَ أَلْلِيلويا. | 3. |
| Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. | ٱلْمَجْدُ لِلآبِ وَٱلاِبْنِ وَٱلرُّوحِ ٱلْقُدُسِ. ٱلآنَ وَكُلَّ أَوَانٍ وَإِلَى دَهْرِ ٱلدَّاهِرِينَ آمِين. | 4. |
| Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς. | يا كَلِمَةَ ٱللهِ ٱلابْنَ ٱلْوَحيد، ٱلَّذِي لَمْ يَزَلْ غَيْرَ مائِتٍ، لَقَدْ ٱقْتَبَلْتَ أَنْ تَتَجَسَّدَ لأَجْلِ خَلاصِنا، مِنَ ٱلْقِدِّيسَةِ والِدَةِ ٱلإِلٰهِ ٱلدَّائِمَةِ ٱلْبَتُولِيَّةِ مَريَمَ، وَتَأَنَّسْتَ بِغَيْرِ ٱسْتِحالَةٍ، وَصُلِبْتَ أَيُّها ٱلْمَسِيحُ إِلٰهُنا، وَبِمَوْتِكَ وَطِئْتَ ٱلْمَوْتَ، وَأَنْتَ لَمْ تَزَلْ أَحَدَ ٱلثَّالوثِ ٱلْقُدُّوسِ ٱلْمُمَجَّدِ مَعَ ٱلآبِ وَٱلرُّوحِ ٱلْقُدُسِ خَلِّصْنا. | 5. |
| Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς· καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν. | فِي مِيلاَدِكِ حَفِظْتِ ٱلْبَتُولِيَّةِ وَصِنْتِهَا، وَفِي رُقادِكِ مَا أَهْمَلْتِ ٱلْعَالِمَ، وَتَرَكْتِهِ يَا وَالِدَةِ ٱلإِلٰه. لأَ نَّكِ ٱنْتَقَلْتِ إِلَى ٱلْحَيَاةِ، بِما أَنَكِ أُمَّ ٱلْحَيَاةِ. فَبِشَفاعَتِكِ أَنْقِذِي مِنَ ٱلْمَوْتِ نُفُوسَنَا. | 6. |
| Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. | بِما أَنَكَ لِلمأسورينَ مُحَرِرٌ وَمُعتِقٌ، وَلِلْفُقَراءِ والْمَساكينَ عاضِدٌ وَناصِرٌ، وَلِلْمَرْضى طَبيبٌ وَشافٍ، وَعَنِ الْمُلوكِ مُكافِحٌ وَمُحارِب. أَيُها الْعَظيمُ في الشُّهَداءِ جاورْجيوسُ اللابِس الْظَفَر، تَشَفَعْ إِلى الْمَسيحُ الإِلَه في خَلاصِ نُفوسِنا | 7. |
| Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. | هَلُمُّوا لِنَسْجُدْ وَنَرْكَعْ لِلْمَسِيحِ، خَلِّصْنَا يا ٱبْنَ ٱللهِ... | 8. |
| Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. | قُدُّوسٌ ٱللهُ قُدُّوسٌ ٱلْقَوِيُّ قُدُّوسٌ ٱلَّذِي لا يَمُوتُ ٱرْحَمْنا. | 9. |
| Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· Ἀλληλούϊα. | أَنْتُم ٱلَّذِينَ بِٱلْمَسِيحِ ٱعْتَمَدْتُم ٱلْمَسِيحُ قَدْ لَبِسْتُم، أَلْلِيلُويَا | 10 |
| Τὸν Σταυρὸν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν. | لِصَلِيبِكَ يا سَيِّدَنَا نَسْجُدُ وَلِقِيامَتِكَ ٱلْمُقَدَّسَةِ نُمَجِّدُ. | 11 |
| Κύριε σῶσον τοὺς εὐσεβεῖς. | يا رَبُّ خَلِّصْ ٱلْمُؤْمِنِين. | 12 |
| (*Δεῖνος*) τοῦ Μακαριωτάτου, Θειοτάτου τε καὶ Παναγιωτάτου Πατρὸς ἡμῶν καὶ Πατριάρχου τῆς Ἁγίας Πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης, Συρίας, Ἀραβίας, πέραν τοῦ Ἰορδάνου, Κανὰ τῆς Γαλιλαίας καὶ Ἁγίας Σιὼν πολλὰ τὰ ἔτη. | (فلان) ٱلْكُلِّيُّ ٱلطُّوبَى ٱلْجَزِيلُ الاجْتِرام، ٱلْفائِقُ ٱلْقَداسَةِ، أَبُونَا وَراعِينَا بَطْرِيَرْكُ ٱلْمَدينَةِ ٱلْمُقَدَّسَةِ أُورُشَلِيمَ وَسَائِرِ فِلَسْطِينَ، سُورِيَّا وَالْعَرَبِيَّةِ وَعَبْرِ ٱلأَرْدُنِّ، وَقَانَا ٱلْجَلِيلِ وَصِهيَوْنَ ٱلْمُقَدَّسَةِ، فَلْتَكُنْ سُنُوُّهُ عَدِيدَةً. | 13 |
| Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. | أَلْلِيلُويَا، أَلْلِيلُويَا، أَلْلِيلُويَا. | 14 |
| Δόξα σοι, Κύριε, δόξα σοι. | ٱلْمَجْدُ لَكَ يا رَبُّ ٱلْمَجْدُ لَكَ. | 15 |
| Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν. | يَا مَعْشَرَ ٱلْمُتَمَثِّلِينَ بِٱلشِّرُوبِيم تَمْثِيلاً سِرِّيًّا وَٱلْمُقَدِّمِينَ ٱلتَّسْبِيحَ ٱلْمُثَلَّثَ تَقْدِيسُهُ لِلثَّالُوثِ ٱلْمُحْيِي. سَبِيلُنَا أَنْ نَطْرَحَ عَنَّا كَافَةَ ٱلاهْتِمامَاتِ ٱلدُّنْيَوِيَّةِ. | 16 |
| Ὡς τὸν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι. | لأَنَّنَا عَازِمُونَ أَنْ نَسْتَقْبِلَ مَلِكَ ٱلْكُلِّ، | 17 |
| Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα. | مَزْفُوفاً مِنَ ٱلْمَراتِبِ ٱلْمَلائِكِيَّةِ، بِحَالٍ غَيْرِ مَنْظورٍ. أَلْلِيلُويَا. | 18 |
| Καὶ τῷ πνεύματί σου. | وَلِرُوحِكَ أَيْضًا. | 19 |
| Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον. | بِآبٍ وَٱبْنٍ وَرُوحٍ قُدُسٍ، ثَالُوثٍ مُتَساوٍ في ٱلْجَوْهَرْ، وَغَيْرِ مُنْفَصِلْ. | 20 |
| Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. | أُحِبُّكَ يا رَبُّ يا قُوَّتِي ٱلرَّبُّ ثَبَاتِي وَمَلْجَئِي وَمُنْقِذِي. | 21 |
| Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱόν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους | أُومِنُ بِإِلٰهٍ وَاحِدٍ آبٍ ضَابِطِ ٱلْكُلِّ. خَالِق ٱلسَّمَاءِ وَٱلأَرْضِ كُلِّ مَا يُرَى وَمَا لاَ يُرَى. وَبِرَبٍّ وَاحِدٍ يَسُوع ٱلْمَسِيح، ٱبْنِ ٱللهِ ٱلْوَحِيدِ ٱلْمَولُودِ مِنَ ٱلآبِ قَبْلَ كُلِّ ٱلدُّهُورِ، نُورٍ مِنْ نُورٍ، إِلٰهٍ حَقٍّ مِنْ إِلٰهٍ حَقٍّ، مَوْلُودٍ غَيْرِ مَخْلُوق، مُسَاوِي ٱلآبَ في ٱلْجَوْهَرِ، ٱلَّذِي بِهِ كَانَ كُلُ شَيءٍ، ٱلَّذِي مِنْ أَجْلِنَا نَحْنُ ٱلْبَشَرَ وَمِنْ | 22 |

| | | |
|---|---|---|
| καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν Προφητῶν. Εἰς Μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. | أَجْلِ خَلاصِنَا نَزَلَ مِنَ ٱلسَّماءِ وَتَجسَّدَ مِنَ ٱلرُّوحِ ٱلْقُدُسِ وَمَنْ مَريمَ ٱلْعَذْراءِ تَأَنَّسَ، وَصُلبَ عَنَّا عَلَى عَهَدِ بِيلاَطَسَ ٱلْبُنْطِيِّ وَتَأَلَمَ وَقُبِرَ، وَقَامَ فِي ٱلْيَومِ ٱلثَّالِثِ عَلَى مَا فِي ٱلْكُتُبِ، وَصَعِد إِلَى ٱلسَّمَاءِ وَجَلَسَ عَنْ يَمِينِ ٱلآبِ، وَأَيْضًا يَأَتِي بِمَجْدٍ لِيَدِينَ ٱلأَحْيَاءَ وَٱلأَمواتَ، ٱلَّذِي لا فَنَاءَ لِمُلْكِهِ. وَبِٱلرُّوحِ ٱلْقُدُسِ ٱلرَّبِ ٱلمَحْيِي ٱلْمُنْبَثِقْ مِنَ ٱلآبْ ٱلَّذِي هُوَ مَعَ ٱلآبِ وٱلاِبْنِ مَسْجُودٌ لَهُ وَمَمَجَّدٌ ٱلنَّاطِقُ بِٱلأَنْبِيَاءِ. وَبِكَنِيسَةٍ وَاحِدَةٍ جَامِعَةٍ مُقَدَّسَةٍ رَسُولِيَّةٍ. وَأَعْتَرِفُ بِمَعْمُودِيَّةٍ وَاحِدَةٍ لِمَغْفِرَةِ ٱلْخَطَايَا. وَأَتَرَجَّى قِيَامَةَ ٱلْمَوتَى وٱلْحَياةَ فِي ٱلدَّهْرِ ٱلآتِي. آمِين. | |
| Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως. | رَحْمَةَ سَلامٍ، ذَبيحَةَ ٱلتَّسْبِيحِ. | 23 |
| Καὶ μετὰ τοῦ πνεύματός σου. Ἔχομεν πρὸς τὸν Κύριον. | وَمَعَ رُوحِكَ أَيْضاً. هِيَ لَنَا عِنْدَ ٱلرَّبِّ. | 24 |
| Ἄξιον καὶ δίκαιον. (ἐστί προσκυνεῖν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον). | حَقٌ وَوَاجِبٌ أَنْ نَسْجُدَ لِلآبِ وابْنٍ وَرُوحٍ قُدُسْ. ثَّالُوثٍ مُتَسَاوٍ فِي ٱلْجَوْهَرْ، وَغَيْرِ مُنْفَصِلْ. | 25 |
| Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης, ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσσανὰ ὁ ἐν τοῖς ὑψίστοις. | قُدُّوسٌ قُدُّوسٌ قُدُّوسٌ رَبُّ ٱلصَّباؤُوتِ. ٱلسَّماءُ وَٱلأَرْضُ مَمْلُوءَتَانِ مِنْ مَجْدِكَ. أُوصَنَّا فِي ٱلأَعَالِي مُبَارَكٌ ٱلآتِي بِٱسْمِ ٱلرَّبِّ. أُوصَنَّا فِي ٱلأَعَالِي. | 26 |
| Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν. | إِيَّاكَ نُسَبِّحُ. إِيَّاكَ نُبَارِكُ. إِيَّاكَ نَشْكُرُ يا رَبّ. وإِلَيْكَ نَطْلُبُ يا إِلَهَنا. | 27 |
| Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. | بِوَاجِبِ ٱلاسْتِيهَالِ حَقًّا نُغَبِّطُ وَالِدَةَ ٱلإِلٰهِ ٱلدَّائِمَةَ ٱلطُّوبَى ٱلْبَرِيئَةَ مِنْ كُلِّ ٱلْعُيُوبِ أُمَّ إِلٰهِنَا. يا مَنْ هِيَ أَكْرَمُ مِنَ ٱلشِّيرُوبِيم وَأَرْفَعُ مَجْداً بِغَيْرِ قِيَاسٍ مِنَ ٱلسِّيْرافِيم. يا مَنْ هِيَ بِغَيْرِ فَسَادٍ وَلَدَتْ كَلِمَةَ ٱللهِ، حَقًّا إِنَّكِ والِدَةُ ٱلإِلٰهِ إِيَّاكِ نُعَظِّمُ. | 28 |
| Καὶ πάντων καὶ πασῶν. | جَميعَهُم وَجَميعَهُنَ | 29 |
| Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ Βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ. | أَبَانَا ٱلَّذِي فِي ٱلسَّمَاوَاتِ، لِيَتَقَدَّسِ ٱسْمُكَ، لِيَأْتِ مَلَكُوتُكَ، لِتَكُنْ مَشَيئَتُكَ كَمَا فِي ٱلسَّمَاءِ كَذٰلِكَ عَلَى ٱلأَرْضِ. خُبْزَنا ٱلْجَوْهَرِيَّ أَعْطِنَا ٱلْيَوْمَ، وَٱتْرُكْ لَنَا مَا عَلَيْنا كَمَا نَتْرُكُ نَحْنُ لِمَنْ لَنَا عَلَيْهِ، وَلاَ تُدْخِلْنَا فِي تَجْرِبَةٍ، لٰكِنْ نَجِّنَا مِنَ ٱلشِّرِّيرِ. | 30 |
| Εἷς ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. | قُدُّوسٌ واحِدٌ، رَبٌّ واحِدٌ، يَسوعُ ٱلْمَسِيح، فِي مَجْدِ ٱللهِ ٱلآبِ. آمِين. | 31 |
| Ἀμήν, Ἀμήν, Ἀμήν, Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. | آمِين، آمِين، آمِين، أَللهُ الْرَبُ ظَهَرلَنا. مُبارَكٌ الآتي باسْم الرَب. | 32 |
| Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱὲ Θεοῦ, κοινωνὸν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας, ἀλλ’ ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. | ٱقْبَلْنِي ٱلْيَومَ شَرِيكاً لِعَشَائِكَ ٱلسِّرِّيِّ يا ٱبْنَ ٱللهِ. لأَنِّي لَنْ أَقُولَ سِرَّكَ لأَعَدَائِكَ وَلاَ أُقَبِلُكَ قُبْلَةً غَاشَةً مِثْلَ يَهُوذَا· لٰكِنِّي كَٱللِّصِّ أَعْتَرِفُ لَكَ قَائِلاً ٱذْكُرْنِي يا رَبُّ مَتى أَتَيتَ فِي مَلَكُوتِكَ. | 33 |
| Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν. | قَدْ نَظَرْنا ٱلنُّورَ ٱلْحَقيقيَّ وَأَخَذْنا ٱلرُّوحَ ٱلسَّماوِيَّ، وَوَجَدْنا ٱلإِيْمَانَ ٱلْحَقَّ، فَلْنَسْجُدْ لِلثَّالُوثِ غَيْرِ ٱلْمُنْفَصِل، لأَنَّهُ خَلَّصَنَا. | 34 |
| Ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ. | نَشْكُرُ الْرَبَ دائماً | 35 |
| Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον, Πάτερ ἅγιε εὐλόγησον. | يا رَبُّ ٱرْحَمْ، يا رَبُّ ٱرْحَمْ، يا رَبُّ ٱرْحَمْ، بِٱسْمِ ٱلرَّبِّ بارِكْ يا آبُ. | 36 |
| Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. | لِيَكُنْ ٱسْمُ ٱلرَّبِّ مُبَارَكاً، مِنَ ٱلآنَ وَإِلى ٱلدَّهْرِ. | 37 |
| Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον, Πάτερ ἅγιε εὐλόγησον. | ٱلْمَجْدُ لِلآبِ وَٱلاِبْنِ وَٱلرُّوحِ ٱلْقُدُسِ. ٱلآنَ وَكُلَّ أَوَانٍ وَإِلَى دَهْرِ ٱلدَّاهِرِين آمِين. يا رَبُّ ٱرْحَمْ، يا رَبُّ ٱرْحَمْ، يا رَبُّ ٱرْحَمْ، بِٱسْمِ ٱلرَّبِّ بارِكْ يا آبُ. | 38 |
| Τὸν εὐλογούντα καὶ ἁγιάζοντα ἡμᾶς Κύριε φύλαττε εἰς πολλὰ ἔτη. | احْفَظْ يا رَبُ مُبارِكَنا وَ مُقَدِسَنا إلى سِنينَ عَدِيدَةْ. | 39 |